Lexicon: Letter Omega by Photius of Constantinople

ω.657 *Ἀρχὴ σὺν Θεωῖ τοῦ ω.*

Ὤα: μηλωτή· διφθέρα· καὶ τὸ λῶμα τοῦ ἐνδύματος περὶ τὴν πέζαν· ἢ τὸ
ω.658 περιστόμιον. Ὠατωθήσομαι: ἀκούσομαι· Δωριεῖς. Ὦ: τὸ μὲν ἄρθρον περισπωμένως· τὸ δὲ σχετλιαστικὸν ὀξυτόνως. Ὤγνυντο: ἠνοίγοντο. Ὠγύγια κακά: ἐπὶ τῶν ὀχληρῶν· ἐπεὶ συνέβη Κάδμον τὸν Ὠγύγου διὰ τὰς θυγατέρας κακοῖς περιπεσεῖν· ἄμεινον δὲ λέγειν Ὠγύγια κακὰ τὰ παλαία· τοῦτο γὰρ ἡ λέξις δηλοῖ. Ὠγύγιον: ἀρχαῖον· παλαιόν· ἢ ὑπερμέγεθες· ἢ διὰ τὸ Ὠγύγιον πρῶτον ἄρξαι τῶν Θηβῶν. Ὤγμευον: Ξενοφῶν ἐν β′ ἀντὶ τοῦ ἐπορεύοντο παρὰ τὸν ὀγμὸν, τὸν σημαίνοντα τὴν κατὰ τάξιν ὁδὸν τῶν θεριζόντων. Ὧδε: οὐ μόνον τὸ οὕτως· ἀλλὰ καὶ τὸ ἐνθάδε ὡς ἡμεῖς· Κρατῖνος Δραπέτισι· Τοὺς ὧδε μόνον στασιάζοντας καὶ βουλομένους τινὰς εἶναι· Ἀριστοφάνης Κωκάλῳ· —ἐκδότω δέ τις Καὶ ψηφολογεῖον ὧδε καὶ δίφρω δύο· καὶ Πλάτων που κέχρηται ἀντὶ τοῦ δεῦρο καὶ ἐνθάδε· τὸ δὲ οὕτως ἐν τοῖς πλείστοις δηλοῖ· Εὔπολις Ταξιάρχοις· Οὐκ, ἢν φυλάττῃ γ’
ω.659 ὧδ’ ἔχων τὴν ἀσπίδα. Ὠδεῖον: Ἀθήνησιν ὥσπερ θεάτρον· ὃ πεποίηκεν, ὡς φασὶ, Περικλῆς εἰς τὸ ἐπιδείκνυσθαι τοὺς μουσικούς· διὰ τοῦτο γὰρ καὶ Ὠδεῖον ἐκλήθη ἀπὸ τῆς ᾠδῆς· ἔστι δὲ ἐν αὐτωῖ τὸ δικαστήριον τοῦ ἄρχοντος· διεμετρεῖτο δὲ καὶ ἄλφιτα ἐκεῖ. Ὧδέ πως: οὕτω πως. Ὠδηκώς: οἰδήσας· φυσήσας. Ὠδίς: ἡ ἐκ τοῦ τοκετοῦ ὀδύνη. Ὤετο: ὑπελάμβανεν. Ὤζειν: θαυμάζειν. Ὤζηκεν λέγουσιν: Ὦ ’ζυροί: κρᾶσις Ἀττική. Ὠήθησαν: ἐνόμισαν. Ὦ Ἡράκλεις: ἐπίφθεγμα θαυμαστικόν. Ὦ Ἥρακλες: ἡ κλητικὴ πτῶσις οὕτως διαφέρει· καὶ τὸ, ὦ Δάματερ, τὸ Δήμητερ· φασὶ δὲ καὶ χωρὶς τοῦ ὦ τοῦ θαυμαστικοῦ, Ἡράκλεις· καὶ μᾶλλον ἐν τηῖ χρήσει.

---

https://eulogikon.org/works/photius-constantinople-lexicon-letter-omega-woy-bj · eul_wid woy-bj · Diogenes Lab reading page 23147ef2fff1